

# Plutarch on DIAITA: well-being, conviviality, feeding, and environment

Coimbra RED Meeting (8-9 September 2022)

## Handout

Joaquim Pinheiro, “The concept of *diaita* in Plutarch’s Roman Lives”

Coimbra Red Meeting, 8-9 September 2022

1. **Introduction**

2. ***Diaita* in Plutarch’s Roman Lives**

   a. ***Diaita* – residence, home, accommodation (space)**

a.1. *Flam.* 20.7

περὶ ταύτην ἔτυχε διατρίβων Ἀννίβας, ἀεὶ δ' ἀπιστῶν τῇ τοῦ Προυσίου μαλακίᾳ καὶ φοβούμενος τοὺς Ῥωμαίους, τὴν οἰκίαν ἔτι πρότερον ἐξόδοις ἑπτὰ καταγείοις συντετρημένην ἐκ τῆς ἑαυτοῦ **διαίτης** εἶχεν, ἄλλου κατ' ἄλλο τῶν ὑπονόμων, πόρρω δὲ πάντων ἀδήλως ἐκφερόντων.

a.2. *Luc.* 2.7

ἀπήντησε γὰρ αὐτῷ σύμπας ὁ στόλος, ὥσπερ εἰώθει βασιλεῖ καταπλέοντι, κεκοσμημένος ἐκπρεπῶς, καὶ τὸ μειράκιον ὁ Πτολεμαῖος ἄλλην τε θαυμαστὴν ἐπεδείκνυτο φιλοφροσύνην πρὸς αὐτόν, **οἴκησίν τε καὶ δίαιταν** ἐν τοῖς βασιλείοις ἔδωκεν, οὐδενός πω ξένου πρότερον ἡγεμόνος αὐτόθι καταχθέντος.

a.3. *Luc.* 39.3

τὰ δ' ἐν τοῖς παραλίοις καὶ περὶ Νέαν πόλιν ἔργα, λόφους ἀνακρεμαννύντος αὐτοῦ μεγάλοις ὀρύγμασι, καὶ τροχοὺς θαλάσσης καὶ διαδρομὰς ἰχθυοτρόφους τοῖς οἰκητηρίοις περιελίσσοντος, καὶ **διαίτας ἐναλίους** κτίζοντος, ὁ Στωικὸς Τουβέρων θεασάμενος **Ξέρξην αὐτὸν ἐκ τηβέννου** προσηγόρευσεν.

   b. ***Diaita* – way of living, mode of life, lifestyle (customs and habits)**

b.1. *Mar.* 3.1.

Γενόμενος δὲ γονέων παντάπασιν ἀδόξων, αὐτουργῶν δὲ καὶ πενήτων, πατρὸς μὲν ὁμωνύμου, μητρὸς δὲ Φουλκινίας, ὀψέ ποτε πόλιν εἶδε καὶ τῶν ἐν πόλει διατριβῶν ἐγεύσατο, τὸν δ' ἄλλον χρόνον ἐν κώμῃ Κερεατίνων τῆς Ἀρπίνης **δίαιταν** εἶχε, πρὸς μὲν ἀστεῖον καὶ γλαφυρὸν βίον ἀγροικοτέραν, σώφρονα δὲ καὶ ταῖς πάλαι Ῥωμαίων τροφαῖς ἐοικυῖαν.

b.2. *Pomp.* 28.3.

CECH Centro de Estudos Clássicos e Humanísticos da Universidade de Coimbra
Unidade de I&D financiada por FCT Fundação para a Ciência e a Tecnologia Projeto UIDB/00196/2020
República Portuguesa



# Plutarch on DIAITA: well-being, conviviality, feeding, and environment

Coimbra RED Meeting (8-9 September 2022)

## Handout

ἐννοήσας οὖν ὅτι φύσει μὲν ἄνθρωπος οὔτε γέγονεν οὔτ' ἔστιν ἀνήμερον ζῷον οὐδ' ἄμικτον, ἀλλ' ἐξίσταται τῇ κακίᾳ παρὰ φύσιν χρώμενος, ἔθεσι δὲ καὶ τόπων καὶ βίων μεταβολαῖς ἐξημεροῦται, καὶ θηρία δὲ **διαίτης** κοινωνοῦντα πρᾳοτέρας ἐκδύεται τὸ ἄγριον καὶ χαλεπόν (…).

**c. *Diaita* – decision, arbitration, judgement**

**d. *Diaita* – regimen, diet (food)**

d.1. *Cat. Ma.* 23.5

Ὁ δ' οὐ μόνον ἀπηχθάνετο τοῖς φιλοσοφοῦσιν Ἑλλήνων, ἀλλὰ καὶ τοὺς ἰατρεύοντας ἐν Ῥώμῃ δι' ὑποψίας εἶχε, καὶ τὸν Ἱπποκράτους λόγον (IX p. 316 L.) ὡς ἔοικεν ἀκηκοώς, ὃν εἶπε τοῦ μεγάλου βασιλέως καλοῦντος αὐτὸν ἐπὶ πολλοῖς τισι ταλάντοις, οὐκ ἄν ποτε βαρβάροις Ἑλλήνων πολεμίοις ἑαυτὸν παρασχεῖν, ἔλεγε κοινὸν ὅρκον εἶναι τοῦτον ἰατρῶν ἁπάντων, καὶ παρεκελεύετο φυλάττεσθαι τῷ παιδὶ πάντας· αὐτῷ δὲ γεγραμμένον ὑπόμνημα εἶναι, καὶ πρὸς τοῦτο **θεραπεύειν καὶ διαιτᾶν** τοὺς νοσοῦντας οἴκοι, νῆστιν μὲν οὐδέποτε διατηρῶν οὐδένα, τρέφων δὲ λαχάνοις καὶ σαρκιδίοις νήσσης ἢ φαβὸς ἢ λαγώ· καὶ γὰρ τοῦτον κοῦφον εἶναι καὶ πρόσφορον ἀσθενοῦσι, πλὴν ὅτι πολλὰ συμβαίνει τοῖς φαγοῦσιν ἐνυπνιάζεσθαι· τοιαύτῃ δὲ **θεραπείᾳ καὶ διαίτῃ** χρώμενος ὑγιαίνειν μὲν αὐτός, ὑγιαίνοντας δὲ τοὺς αὑτοῦ διαφυλάττειν.

d.2. *Caes.* 17.3

τὸ μὲν οὖν φιλοκίνδυνον οὐκ ἐθαύμαζον αὐτοῦ διὰ τὴν φιλοτιμίαν· ἡ δὲ τῶν πόνων ὑπομονὴ παρὰ τὴν τοῦ σώματος δύναμιν ἐγκαρτερεῖν δοκοῦντος ἐξέπληττεν, ὅτι καὶ τὴν ἕξιν ὢν ἰσχνός, καὶ τὴν σάρκα λευκὸς καὶ ἁπαλός, καὶ τὴν κεφαλὴν νοσώδης, καὶ τοῖς ἐπιληπτικοῖς ἔνοχος (ἐν Κορδύβῃ πρῶτον αὐτῷ τοῦ πάθους ὡς λέγεται τούτου προσπεσόντος), οὐ μαλακίας ἐποιήσατο τὴν ἀρρωστίαν πρόφασιν, ἀλλὰ **θεραπείαν** τῆς ἀρρωστίας τὴν στρατείαν, ταῖς ἀτρύτοις ὁδοιπορίαις καὶ ταῖς εὐτελέσι **διαίταις** καὶ τῷ θυραυλεῖν ἐνδελεχῶς καὶ ταλαιπωρεῖν ἀπομαχόμενος τῷ πάθει καὶ τὸ σῶμα τηρῶν δυσάλωτον.

**3. Final remarks**

CECH Centro de Estudos Clássicos e Humanísticos da Universidade de Coimbra Criado em 1967
Unidade de I&D financiada por FCT Fundação para a Ciência e a Tecnologia
Projeto UIDB/00196/2020
República Portuguesa